08/12/2024

Το Αποστολικό Ανάγνωσμα της Κυριακής ΚΔ’ Επιστολών

/ Ορθόδοξες Προβολές



Το Αποστολικό Ανάγνωσμα της Κυριακής ΚΔ΄ Επιστολών: Εφεσ. β΄ 14-22 (08-12-2024).

Πρωτότυπο Κείμενο

Ἀδελφοί, Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν, ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ· καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ τοῖς ἐγγύς, ὅτι δι᾽ αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ

τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ ᾽Ιησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι.

Νεοελληνική Απόδοση

Αυτός πραγματικά είναι για μας η ειρήνη. Αυτός έκανε τους δύο αντιμαχόμενους κόσμους ένα λαό και γκρέμισε με το σταυρικό του θάνατο ό,τι σαν τείχος τους χώριζε και προκαλούσε έχθρα μεταξύ τους. Κατήργησε δηλαδή τον ιουδαϊκό νόμο των εντολών και των διατάξεων, για να δημιουργήσει με το έργο του από τα δύο εχθρικά μέρη, από τους Ιουδαίους και τους εθνικούς, μια νέα ανθρωπότητα, φέρνοντας την ειρήνη. Κι αφού θανάτωσε με το σταυρό του την έχθρα, ένωσε τους δύο πρώην εχθρούς σε ένα σώμα και τους συμφιλίωσε με το Θεό. Έτσι, ο Χριστός ήρθε κι έφερε το χαρμόσυνο μήνυμα της ειρήνης σ’ εσάς τους εθνικούς, που ήσασταν μακριά από το Θεό, και σ’ εσάς τους Ιουδαίους, που ήσασταν κοντά του. Πραγματικά, δια του Χριστού μπορούμε μ’ ένα πνεύμα και οι δύο, εθνικοί και Ιουδαίοι, να πλησιάσουμε τον Πατέρα. Δεν είστε, λοιπόν, πια ξένοι και χωρίς δικαιώματα, αλλά ανήκετε στο λαό του Θεού, στην οικογένεια του Θεού. Προστεθήκατε κι εσείς στο οικοδόμημα που έχει θεμέλιο τους αποστόλους και τους προφήτες κι ακρογωνιαίο λίθο αυτόν τον ίδιο το Χριστό. Μ’ αυτόν δένεται ολόκληρο το οικοδόμημα και μεγαλώνει, ώστε να γίνει ναός άγιος για τον Κύριο. Ο Κύριος οικοδομεί κι εσάς μαζί με τους άλλους, για να γίνετε πνευματική κατοικία του Θεού.